# ATTIC GREEK TEXT

## POEM TEXT

ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον,
ὃς μάλα πολλὰ πλάγχθη,

ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν:
πολλῶν δ᾽ ἀνθρώπων ἴδεν

ἄστεα καὶ νόον ἔγνω, πολλὰ δ᾽ ὅ γ᾽ ἐν
πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,

ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.
ἀλλ᾽ οὐδ᾽ ὣς ἑτάρους ἐρρύσατο,

## EXTRA TEXT

ἱέμενός περ: αὐτῶν γὰρ σφετέρῃσιν
ἀτασθαλίῃσιν ὄλοντο,

νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον: αὐτὰρ ὁ τοῖσιν ἀφείλετο

νόστιμον ἦμαρ. τῶν ἁμόθεν γε, θεά, θύγατερ
Διός, εἰπὲ καὶ ἡμῖν.

ἔνθ᾽ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν
ὄλεθρον, οἴκοι ἔσαν, πόλεμόν

τε πεφευγότες ἠδὲ θάλασσαν: τὸν δ᾽ οἶον νόστου
κεχρημένον ἠδὲ γυναικὸς

νύμφη πότνι᾽ ἔρυκε Καλυψὼ δῖα θεάων ἐν σπέσσι
γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.

ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
τῷ οἱ ἐπεκλώσαντο θεοὶ

οἶκόνδε νέεσθαι εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος
ἦεν ἀέθλων καὶ μετὰ οἷσι φίλοισι.

θεοὶ δ᾽ ἐλέαιρον ἅπαντες νόσφι Ποσειδάωνος: ὁ
δ᾽ ἀσπερχὲς μενέαινεν ἀντιθέῳ

Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι. ἀλλ᾽ ὁ μὲν
Αἰθίοπας μετεκίαθε τηλόθ᾽ ἐόντας,

Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
οἱ μὲν δυσομένου Ὑπερίονος

οἱ δ᾽ ἀνιόντος, ἀντιόων ταύρων τε καὶ ἀρνειῶν
ἑκατόμβης. ἔνθ᾽ ὅ γ᾽ ἐτέρπετο

δαιτὶ παρήμενος: οἱ δὲ δὴ ἄλλοι Ζηνὸς ἐνὶ
μεγάροισιν Ὀλυμπίου ἁθρόοι ἦσαν.

τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε:
μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,

τόν ῥ᾽ Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν᾽ Ὀρέστης:
τοῦ ὅ γ᾽ ἐπιμνησθεὶς ἔπε᾽ ἀθανάτοισι μετηύδα:

ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται:
ἐξ ἡμέων γάρ φασι κάκ᾽ ἔμμεναι,

οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον
ἄλγε᾽ ἔχουσιν, ὡς καὶ νῦν Αἴγισθος

ὑπὲρ μόρον Ἀτρεΐδαο γῆμ᾽ ἄλοχον μνηστήν, τὸν δ᾽ ἔκτανε
νοστήσαντα, εἰδὼς αἰπὺν ὄλεθρον,

ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς, Ἑρμείαν πέμψαντες, ἐύσκοπον
ἀργεϊφόντην, μήτ᾽ αὐτὸν κτείνειν μήτε

μνάασθαι ἄκοιτιν: ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται
Ἀτρεΐδαο, ὁππότ᾽ ἂν ἡβήσῃ τε καὶ

ἧς ἱμείρεται αἴης. ὣς ἔφαθ᾽ Ἑρμείας, ἀλλ᾽ οὐ
φρένας Αἰγίσθοιο πεῖθ᾽ ἀγαθὰ φρονέων:

νῦν δ᾽ ἁθρόα πάντ᾽ ἀπέτισεν.